ΚΑΙ ΑΝΤΙΟΠΕΙΑΝ. ἡρόδοτος ὁ ποντικὸς, καὶ
μενεκράτης, ὁ περὶ νικαίας ἱστορήσας τῆς πόλε-
ως, ἱστορεῖ, ὡς θησεὺς, ἔχων τὴν ἀντιόπην, καὶ
εἰς τοὺς ἐν νικαίᾳ διέτριψε τόπους: συνῆ-
ρχον δὲ τῷ θησεῖ καὶ τρεῖς τινες ἀδελφοί,
θόας, εὔνεως, καὶ σολόεις, ὧν ὁ σολόεις, ἐρα-
σθεὶς ἀντιόπης, κατὰ τινὸς τῶν φίλων μηνύει
ταύτῃ τὸν ἔρωτα. ἡ δὲ, σώφρων οὖσα, τῷ
μὲν θησεῖ οὐδὲν εἶπεν[33], τὸν δὲ σολόεντα σφο-
δρῶς ἀπεπέμψατο: ὃς ἀπογνοὺς ἅμα, καὶ
φοβηθεὶς, ἀπέπνιξεν ἑαυτὸν ἐν τῷ ἀπ' αὐτοῦ
κληθέντι σολόεντι ποταμῷ.

ϛγ. ΤΗΝ ΘΕΑΝΩ ΤΕ. ἡ θεανὼ, καθ' ὅμηρον
γυνὴ ἦν τοῦ ἀντήνορος, ἥτις, διὰ τὸν σώφρο-
να βίον αὐτῆς, καὶ τοὺς νόθους τοῦ ἰδίου ἀν-
δρὸς παῖδας ἐθήλαξε, καὶ ἴσα παρθένῳ ἱέ-
ρεια τῆς ἀθηνᾶς ἐγεγόνει.

ΚΑΙ ΟΙΝΩΝΗΝ. οἰνώνη γυνὴ ἦν ἀλε-
ξάνδρου: ἀναιρεθέντος δὲ αὐτοῦ ὑπὸ φιλοκτή-
του, καί τοι καὶ ἑτέραν γυναῖκα τὴν ἑλένην
λαβόντα, καὶ ταύτην παρωσάμενον, ὅμως συν-
ανεῖλεν ἑαυτὴν, κατὰ μὲν κόϊντον, τῇ τούτου
πυρᾷ ἑαυτὴν ἐπικαύσασα, κατὰ δὲ λυκό-
φρονα, ἀπὸ τοῦ πύργου πεσοῦσα, κατὰ δὲ[34] δι-
κτὺν τὸν κρῆτα, βρόχοις ἀπάγξασα ἑαυτήν.

ΚΑΙ ΛΟΥΚΡΕΤΙΗΝ[35] ΔΕ. περὶ τῆς λου-
κρετίας δίων ὁ κοκκειανὸς, καὶ διόδωρος ὁ σικε-
λὸς, καὶ πλούταρχος, καὶ διονύσιος ἱστοροῦσιν, ὡς
εὐγενὴς μὲν ῥωμαία ἐτύγχανε, γυνὴ δὲ
ἦν κολλατίνου σωφρονεστάτη. ὁ δὲ κολλατῖνος
οὗτος υἱὸς ἦν[36] ἠγερίου. ἐν δὲ τῇ τῶν ἀρ-
δεατῶν πολιορκίᾳ συνδειπνοῦντες οἱ τοῦ ὑπερηφά-
νου ταρκυνίου παῖδες, ὁ κατὰ πλούταρχον[37] ἄρρων,
ἀρρούντας δὲ κατὰ δίωνα, καὶ σέξτος, αὐτοῦ ἀδελ-
φοὶ, καὶ βροῦτος, καὶ οὗτος ὁ κολλατῖνος, ἔπαινον τῶν
ἰδίων γυναικῶν ἐποιοῦντο, ἀναβάντες δὲ τοὺς
ἵππους οἱ τέσσαρες ἅμα ἐπὶ τὴν ἑνὸς ἑκάστου
αὐτῶν οἰκίαν αἰφνιδίως ἀνήρχοντο, καὶ πάσας μὲν
εὗρον ἐν λόγοις τισὶ καὶ ἔργοις οὔσας αἰσχροῖς,

Vid. Τζέτζα ad Lycophr. v. 1332. ὑπόθεσις Ἱππολύτου Εὐριπίδου.

σολοῦς κεχόξενος ὃν ἀνεῖλεν ἡρακλῆς. Steph. in Σολοῦς.

Suidas: Σολίεις, ποταμός. corrige, σολόεις.

Il. ξ' 298.

Apollod. lib. III. p. 184. Conon διηγ. XXIII. Parthen. ἐρωτ. IV. Ovid. Heroid. Τζέτζα ad Lycophr. v. 57.

Cointus lib. X παραλειπ. v. 467. Lycophron, v. 65.

In Dictye Latino, IV. 21, dicitur, quod per moerorem deficiente animo obstupefacta conciderit.

Dio
Diodorus
Plutarchus
Dionysius lib. IV. Livius lib. I Ovid. 2. Fast. Augustin. I. 19. & III. 15. de C. D. Valer. Max. VI. 1. alii multi.

http://digital.slub-dresden.de/ppn346492408/14